**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 5 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=3

V. 96-111

ἀλλ᾽ οὐ δύναμαι λ[έγειν, προ]σέστηκεν δέ μοι
τὸ πνεῦμα. κόψας τὴν θύραν τῆς οἰκίας
τὸν κύριον ζητεῖν ἔφην· προῆλθέ μοι
γραῦς τις κακοδαίμων, αὐτόθεν δ᾽ οὗ νῦν λέγων
ἕστηκ᾽ ἔδειξεν αὐτὸν ἐπὶ τοῦ λοφιδίου
ἐκεῖ περιφθειρόμενον ἀχράδας, ἢ πολὺν
κύφων᾽ ἑαυτῷ συλλέγοντα. **ΣΩ.** ὡς ὀργίλως.
‹**ΠΥ.**› τί, ὦ μακάριε; ἐγὼ μὲν εἰς τὸ χωρίον
ἐμβὰς ἐπορευόμην πρὸς αὐτὸν καὶ πάνυ
πόρρωθεν, εἶναί τις φιλάνθρωπος σφόδρα
ἐπιδέξιός τε βουλόμενος προσεῖπα καὶ
«ἥκω τι» φημί «πρός σε, πάτερ, ἰδεῖν τί σε
σπεύδων ὑπὲρ σοῦ πρᾶγμ᾽»· ‹ὁ δ᾽› εὐθύς, «ἀνόσιε
ἄνθρωπέ,» φησιν, «εἰς τὸ χωρίον δέ μου
ἥκεις ‹σύ;› τί μαθών;» βῶλον αἴρεταί τινα·
ταύτην ἀφίησ᾽ εἰς τὸ πρόσωπον αὐτό μου.